UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Philostrati Lemnii Opera Qvae Exstant

### Philostratus, Flavius

### Parisiis, 1608

Callistrati Expositiones statuarum

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1533

Visual Library

# ΕΚΦΡΑΣΕΙΣ ΚΑΛΛΙΣΤΡΑΤΟΥ.

# CALLISTRATI EXPOSITIONES STATVARVM.

## *EX FEDERICI MORELLI PROFESSORIS REGII INTERPRETATIONE.*

A

### Εἰς Σάτυρον, ὃς ἦν ἐν χωρείῳ ἔνθα ἤσκητο.

ΑΝΤΡΟΝ ἦν περὶ Θήβας τὰς Αἰγυπτίας, προσῃκασμένον σύριγγι, εἰς ἕλικας αὐτοφυῶς ἐν κύκλῳ περὶ τοὺς τῆς γῆς ἑλιττόμενον πυθμένας. οὐ γὰρ ἐπ' εὐθείας ἀνοιγόμενον, εἰς εὐθυπόρους αὐλῶνας ἐσχίζετο, ἀλλὰ τὴν ὑπώρειον περιβέχον καμπὴν, ὑπογείους ἕλικας ἐξέτεινεν, εἰς δυσεύρετον πλάνην ἐκπῖπτον. ἵδρυτο δὲ ἐν αὐτῷ, σατύρου τι σχῆμα, τεχνηθὲν ἐκ λίθου. εἱστήκει μὲν ἐπί τινος κρηπῖδος εἰς χωρεῖον, εὐθετίζων τὸ σχῆμα, καὶ τῆς δεξιᾶς βάσεως τὸν ταρσὸν ὄπισθεν ἐξαίρων. μετεχειρίζετο καὶ αὐλὸν, καὶ πρὸς τὴν ἠχὴν πρῶτος ἐξανίστατο· τῇ μὲν γὰρ ἀκοῇ μέλος οὐ προσέπιπτεν αὐλοῦντος, οὐδὲ ἦν ὁ αὐλὸς ἔμφωνος. τὸ δὲ τῶν αὐλούντων πάθος, διὰ τῆς τέχνης εἰς τὴν πέτραν εἰσῴκιστο. εἶδες δ' ἂν ὑπανισταμένας καὶ φλέβας, ὡς ἂν ἔκ τινος γεμιζομένας πνεύματος, καὶ εἰς τὴν ἐπήχησιν τοῦ αὐλοῦ τὴν πνοὴν ἐκ στέρνων τὸν σάτυρον ἀνασπῶντα, καὶ συνεργεῖν ἐθέλοντα τὸ εἴδωλον, καὶ εἰς ἀγωνίαν τὸν λίθον πίπτοντα. εἰ γὰρ ἔπειθε, τῆς πνοῆς ἐξουσίαν ἐν ἑαυτῷ ἐμφυ- B C

### *In Satyrum, eo loci stantem vbi se exercebat.*

ANTRVM quoddam fuit circa Thebas Ægyptias instar fistulæ expressum, in inuolucra à natura per orbẽ latè circa terræ caua contortum: non enim recto tramite apertum in directos tubos findebatur, sed submontanum circumcurrens cliuum, subterraneos circos protendebat, in errorem vix indagabilem & inextricabilem excidens. Locatus erat in ipso Satyri conformatio quædã, è marmore arte elaborata. hic cõstiterat in crepidine quadã, ad locum schema suum adaptans, & dextri pedis plantam à tergo extollens: tibiam quoque manibus contrectabat, & ad sonũ primus exsurgebat: namq; aliorũ auditui non congruebat concentus tibia canentis: neque tibia vocalis fuit: verùm tibiis ludentium affectus artificiosè in saxum inductus fuerat. videres etiam subintumescentes venas, tanquam aliquo spiritu afflatas, & ad tibiæ resonantiam halitum è pectoribus attrahentẽ Satyrum: & simulacrum operari appetẽs, & marmor ad concertationem procidens. Etenim spiritus potestatem insitam esse suade-

bat; & anhelitus indicium intus excitatũ ex operosis meatibus. Ceterùm corpus eius haudquaquã mollitiei particeps erat; sed membrorũ soliditas venustatẽ surripiebat, dum formam exasperaret ad artuum vel iuncturarum virilium aptam proportionem. sed enim formosa puella, cute molli & concinna, atque artubus delicatis exhibetur: Satyro verò squallens vultus conuenit, tanquam mõticolæ genio & in Dionysij gratiam saltitanti. hedera autem ipsum redimibat; cùm ars fructum nõ ex agris decerpserit: sed lapis præ soliditate in ramos fusus percurrebat cæsariẽ connexã, ad ceruicales neruos à fronte delabẽs. Adstabat porrò Pan exhilaratus tibiæ sonitu, & amplexatus Echum, quasi metueret, opinor, ne si tibia modulato sono quodam vicisset, vel inuitæ nymphæ persuaderet, vt Satyro certatim resonaret. hoc intuiti simulachrum, & Æthiopum lapidem, Memnonis vocale marmor credebamus exstitisse: quod accedente quidem die lucis præsentia exhilarabatur: abeunte verò mœrore tactum lugubre quiddam ingemiscebat: & solùm è marmoribus voluptatis ac doloris sensu moderatum, à propria vilitate abscedebat; stupiditate per vocis libertatem deuicta.

A τον, καὶ ἄσθματος ἔνδειξιν, ἐγειρομένην οἴκοθεν ἐκ τῶν ἀμηχάνων πόρων. οὐκ ἦν δὲ ἁβρότητος μετέχον τὸ σῶμα· ἀλλ' ἡ τῶν μελῶν στερρότης, τὴν ὥραν ἔκλεπτεν, εἰς ἄρθρων συμμετρίαν ἀνδρικῶν τὴν ἰδέαν τραχύνουσα. καλὴ μὲν γὰρ κόρη· χρῶτες μαλθακοὶ, καὶ πρόσφοροι, καὶ μέλη θρυπτόμενα. σατύρου δὲ αὐχμηρὸν τὸ εἶδος, ὡς ἂν ὀρείου δαίμονος, καὶ Διονύσῳ σκιρτῶντος. κισσὸς δὲ αὐτὸν ἐστεφάνου, οὐκ ἐκ λειμώνων δρεψαμένης τὸν
B καρπὸν τῆς τέχνης· ἀλλ' ὁ λίθος ὑπὸ στερρότητος εἰς κλῶνας χυθεὶς, περιέθει τὴν κόμην, εἰς συμβολὴν, ἐπὶ τοὺς αὐχενίους τείνοντας ἐκ μετώπων προσέρπων. παρειστήκει δὲ καὶ ὁ Πὰν, γαννύμενος τῇ αὐλητικῇ, καὶ ἐναγκαλισάμενος τὴν ἠχὼ, ὥσπερ, οἶμαι, δεδιὼς μή τινα φθόγγον ἔμμουσον ὁ αὐλὸς κινήσας, ἀντηχεῖν ἀναπείσῃ τῷ σατύρῳ τὴν νύμφην. τοῦτο
C θεασάμενοι τὸ εἴδωλον, καὶ τὸν Αἰθιόπων λίθον, ἔμφωνον Μέμνονος ἐπιστεύομεν γενέσθαι· ὃς παρούσης μὲν τῆς ἡμέρας, ἐπὶ ταῖς παρουσίαις ἐφαιδρύνετο· ἀπιούσης δὲ, ἀνίᾳ βαλλόμενος, πένθιμον ἐπέστενε· καὶ μόνος ἐκ λίθων, ἡδονῆς καὶ λύπης παρουσίᾳ διοικούμενος, τῆς οἰκείας ἀπέστη* κουφότητος, εἰς ἐξουσίαν φωνῆς, τὴν ἀναισθησίαν ἐκνικήσας. *Ισ. φαυλότητος

---

*In Bacchæ statuam: vbi per translationem de artificio Demosthenis sermo institutus est.*

D Εἰς τὸ Βάκχης ἄγαλμα. μεταφορικῶς δὲ, εἰς τὴν Δημοσθένους τέχνην διείλεκται.

NON poëtarũ tantùm & sermonis opificũ artes in linguas spirant, cùm diuinus à Diis afflatus incidit; verumetiam artificum manus diuiniorum spirituũ subsidiis correptæ, nùmine afflata, & furore sociata

ΟΥ ποιητῶν δὲ καὶ λογοποιῶν μόνον ἐπιπνέονται τέχναι ἐπὶ τὰς γλώττας, ἐκ θεῶν θειασμοῦ πεσόντος, ἀλλὰ καὶ τῶν δημιουργῶν αἱ χεῖρες θειοτέρων πνευμάτων ἐράνοις ληφθεῖσαι, κάτοχα, καὶ μεστὰ μανίας

προφητεύουσι τὰ ποιήματα. ὁ γὰρ δὴ Σκόπας ὥσπερ ἔκ τινος ἐπιπνοίας κινηθεὶς, εἰς τὴν τοῦ ἀγάλματος δημιουργίαν τὴν θεοφορίαν ἐφῆκε. τί δὲ ὑμῖν οὐκ ἄνωθεν τὸν ἐνθουσιασμὸν τῆς τέχνης διηγοῦμαι. ἦν Βάκχης ἄγαλμα, ἐκ λίθου Παρίου πεποιημένον, ἀλλαττόμενον πρὸς τὴν ὄντως Βάκχην. ἐν γὰρ τῇ οἰκείᾳ τάξει μένων ὁ λίθος, τὸν ἐν τοῖς λίθοις νόμον ἐκβαίνειν ἐδόκει· τὸ μὲν γὰρ φαινόμενον ὄντως ἦν εἴδωλον· ἡ τέχνη δὲ εἰς τὸ ὄντως ὂν ἀπήγαγε τὴν μίμησιν. εἶδες ἂν ὅτι καὶ στερεὸς ὤν, εἰς τὴν τοῦ θήλεος εἰκασίαν ἐμαλάττετο, γοργότητος διορθουμένης τὸ θῆλυ· καὶ εἰς ἐξουσίαν ἄμοιρον κινήσεως, ἤδη βακχεύεσθαι. καὶ τῷ θεῷ εἰσιόντι, τὰ ἔνδον ὑπήχει. πρόσωπόν γε μὴν ἰδόντες ὑπὸ ἀφασίας ἔστημεν. οὕτω δὴ καὶ αἰσθήσεως συνείπετο δήλωμα, μὴ παρούσης αἰσθήσεως. καὶ Βάκχης ἐκβακχεύων θειασμὸς ἐμηνύετο, θειασμοῦ μὴ πλήττοντος. καὶ ὅσα φέρει μανίας* οἰστρῶσα ψυχή, τοσαῦτα πάθους διέλαμπε τεκμήρια ὑπὸ τῆς τέχνης, ἀρρήτῳ λόγῳ κραθέντα. ἀνεῖτο δὲ ἡ κόμη ζεφύρῳ σοβεῖν, καὶ εἰς τριχὸς ἄνθησιν λίθος ὑπεσχίζετο. ὃ δὴ καὶ μάλιστα τὸν λογισμὸν ὑπεξίστη, ὅτι καὶ τελχὸς λεπτότητι λίθος ὤν, ἐπείθετο, καὶ πλοκάμων ὑπήκουσε τοῖς μιμήμασι, καὶ τῆς ζωτικῆς ἕξεως γεγυμνωμένος, τὸ ζωτικὸν εἶχεν. ἔφης ἂν ὅτι καὶ αὐξήσεως ἀφορμὰς ἡ τέχνη συνεσήγαγεν. οὕτω καὶ τὸ ὁρώμενον, ἄπιστον, καὶ τὸ μὴ πιστὸν, ὁρώμενον. οὐ μὴν ἀλλὰ καὶ χεῖρας ἐνεργοὺς ἐπεδείκνυτο. οὐ γὰρ Βακχικὸν ἐτίνασσε θύρσον, ἀλλά τι σφάγιον

*ἴσ. ὑπὸ μ. ἡ μανία

A prænunciant opera. Etenim Sco-
pas velut inſpiratione quadam con-
citatus, ad ſtatuæ opificium Dei af-
flatum tranſmiſit. nunquid verò vo-
bis altius artis furorem diuinum re-
céſebo? Bacchæ ſtatua fuit ex mar-
more Pario conſtans, & planè mu-
tata in Baccham veram, non ſi-
mulatam: namque in ſtatu proprio
conſiſtens lapis legem marmoribus
datam excedere videbatur. Enim-
uero quod apparebat, reapſe ſimu-
B lachrum erat: ars autem imitatio-
nem ad id quod re vera erat, de-
duxerat. videres vtique, quòd ſoli-
dum marmor erat, in fœminæ ef-
figiem emolliri, truculentia fœmi-
neam ſpeciem emendante; & mo-
tionis expers, iam bacchandi pote-
ſtatem habere: tum Deo ingreſſo
interiora perſonabant. vultum cer-
tè intuiti, præ ſtupida taciturnita-
te conſtitimus: vſque adeò ſenſus
declaratio comitabatur, ſenſu non
C præſente, ac diuinus Bacchæ affla-
tus deſignabatur, inſpiratione non
feriente: deniq; quot & quanta fert
animus furoris œſtro percitus; tot ac
tanta affectus indicia ab arte emi-
cabant, inenarrabili arcanáque ra-
tione temperata. ſoluta coma Fa-
uonio exagitabatur: atque in flori-
dum capilli floccum marmor diſ-
findebatur. hoc maximè profectò
mentis & rationis vim deturbabat,
quòd capillitij quoque tenuitati,
verè marmor exiſtens, obtempera-
D bat; & cincinnorũ imitationibus pa-
rebat: & vitali habitu nudatum ac
deſtitutũ vitalem vim habebat. Di-
ceres etiam incrementi anſas artem
contuliſſe. Sic & quod conſpicitur
incredibile eſt, & quod non credi-
bile eſt, ſpectatur. veruntamen ma-
nus etiam agiles & induſtrias oſten-
debat. non enim Bacchicum quaſ-
ſabat thyrſum; ſed & ſeceſpitam

quandam ferebat, tanquam Euoê clamans, insaniæ acerbioris signum. hoc porrò capellæ quoddã figmentũ liuidi coloris erat. Etenim saxum subierat cadaueris speciem; & vnam eandémque materiam, in mortis & vitæ imitationẽ ars diuiserat; nempe in Baccham animatam stantem, & quasi appetentem Cithæronem: & in capellam furore Bacchico interemptam, & sensuum vigore priuatam, ac marcentem. Itaque Scopas qui exanima simulacris effingebat corpora, opifex veritatis erat: & corporibus materiæ miracula excudebat. At verò Demosthenes cùm simulachra oratione exprimeret, parum abest quin sermonum formam sensum mouentem ostenderet, intelligentia & sapientia constantibus, artis medicamenta admiscens. hinc repentè è vestigio agnoscetis Signum ad contemplationem propositum, suo proprióq; motu desertum non fuisse: quin etiam simul dominari, & in charactere sculpturáve suum parentem conseruare; & Baccham amorem præ se ferre.

A ἔφερεν, ὥσπερ εὐάζουσα, πικροτέρας μανίας σύμβολον. τὸ δὲ, τὴν χιμαίρας τὸ πλάσμα, πελιδνὸν τὴν χρόαν. καὶ γὰρ τὸ τεθνηκὸς, ὁ λίθος ὑπεδύετο. καὶ μίαν οὖσαν τὴν ὕλην, εἰς θανάτου καὶ ζωῆς διῄρε* τὴν μίμησιν. τὴν μὲν, ἔμπνουν στήσασα, καὶ οἷον ὀρεγομένην Κιθαιρῶνος· τὴν δὲ, ἐκ τῆς Βακχίου θανατωθεῖσαν οἴστρου, καὶ τῶν αἰσθήσεων ἀπομαραίνουσαν τὴν ἀκμήν. ὁ μὲν οὖν Σκόπας, B καὶ ταῖς ἀψύχοις εἰδωλοποιῶν γενέσεις, δημιουργὸς ἀληθείας ἦν, καὶ τοῖς σώμασι τῆς ὕλης ἀπετυποῦτο τὰ θαύματα. ὁ δὲ τὰ ἐν λόγῳ διαπλάττων Δημοσθένης ἀγάλματα, μικροῦ καὶ λόγων ἔδειξεν εἶδος αἰσθητὸν, τοῖς νοῦ, καὶ φρονήσεως γεννήμασι, συγκεραννὺς τὰ τῆς τέχνης φάρμακα. καὶ γνώσεσθε δὲ αὐτίκα, ὡς οὐδὲ τῆς οἴκοθεν κινήσεως ἐστέρηται τὸ εἰς θεωρίαν προκείμενον ἄγαλ- C μα, ἀλλὰ καὶ ὁμοῦ δεσπόζει, καὶ ἐν τῷ χαρακτῆρι σώζει τὸν οἰκεῖον γεννήτορα· ἀπὸ δὲ τῆς Βάκχης, τὸν ἔρωτα.

* γρ. διῄρει, ἢ διῄρηται

*In Indi statuam.*

INDVS iuxta fontem constiterat; donarium à Nymphis erectũ. Indus autem marmor nigrans erat, & quod ad eũ colorem ex natura generis sui transfugerat. Habuit porrò florentem & crispum crinem; non puro & mero nigro lucentem, verùm è summitatibus contendentem cum flore Tyriæ purpuræ. nam veluti delinitus & madefactus vicinis Nymphis, capillus è radicibus exurgens, nigrior ad summitates fluctuabat. Oculi profectò non cõ-

Εἰς τὸ τοῦ Ἰνδοῦ ἄγαλμα.

ΠΑΡΑ κρήνην Ἰνδὸς εἱστήκει, ἀνάθημα ταῖς Νύμφαις ἱδρυθείς. ἦν δὲ ὁ Ἰνδὸς, λίθος μελαινόμενος, καὶ πρὸς τὴν D ἐκ φύσεως τοῦ γένους αὐτομολῶν χροιάν. εἶχε δὲ εὐθαλῆ μὲν, καὶ οὔλην τὴν χαίτην, οὐκ ἀκράτῳ τῷ μέλανι λάμπουσαν, ἀλλ' ἐκ τῶν ἄκρων, πρὸς κόχλου* Τυρίας ἄνθος ἐρίζουσαν. οἷον γὰρ εὐπαθοῦσα, καὶ νοτιζομένη ταῖς προσοίκοις νύμφαις ἡ θρὶξ ἐκ ῥιζῶν ἀνιοῦσα, μελάντερος πρὸς τοῖς ἄκροις ἐπορφύρεν. ὀφθαλμοί γε

* ἴσ. Τυρίοις

μέλαν οὐ συνῳδὸν τῷ λίθῳ. κατὰ γὰρ τὰς τῶν ὀμμάτων κόρας, περιέθει λευκότης, κατ' ἐκεῖνο τὸ μέρος τῆς πέτρας μεταπλεκούσης εἰς λευκότερον, καθ' ὃ καὶ τῆς τῶν Ἰνδῶν φύσεως ἡ χρόα μελαίνεται. μέθη δὲ αὐτὸν ἐξίστη. καὶ τὸ μεμεθυσμένον, οὐ κατεμήνυσεν ἡ τοῦ λίθου χρόα. οὐ γὰρ ἦν αὐτῷ μηχάνημα τὰς παρειὰς φοινίξαι, σκέποντος τοῦ μέλανος τὴν μέθην. ἐν δὲ τοῦ σχήματος, κατηγόρει τοῦ πάθους. παράφορός τε γὰρ, καὶ κωμάζων εἱστήκει, οὐ δυνάμενος ἐρείδειν τὼ πόδε, ἀλλ' ὑπότρομός τε, καὶ ὑπὸ τὴν γῆν ὀκλάζων. ὁ δὲ λίθος, ὑπὸ τοῦ πάθους ἐῴκει πληγέντι, καὶ οἱονεὶ *σπαίρειν, τὸν ἀπὸ τῆς μέθης ἐμφωλίζων σεισμόν. εἶχε δὲ ἁβρὸν οὐδὲν τοῦ Ἰνδοῦ τὸ εἴδωλον, οὐδ' ἑκάστην κατὰ χρόαν ἐξήσκει χάριν, ἀλλ' εἰς μόνην τὴν μελῶν συμβολὴν διήρθρωτο. ἀσκεπὴς δὲ ἦν, καὶ γυμνός, ὡς ἂν τῶν Ἰνδικῶν σωμάτων πρὸς τὸ τῆς ἀκμῆς φλογῶδες εἰωθότων ἀπανδρίζεσθαι.

*γρ. σπαίρων

A cinebant marmori. nam ad pupillas oculorum circumcurrebat candor; saxo illa ex parte in candidius conuerso, qua naturæ Indi color germanus, solet nigrescere. Crapula verò ipsum de statu mentis mouerat: at vim temulentam non denotabat color marmoris: non enim integrum fuit ipsi artificium genas rubore tingendi, atrore violentiam obtegente. verùm ex conformatione arguebat affectum: etenim mente motus ac lasciuiens
B expressus erat, vt qui firmare pedes & stare loco nesciret, sed tremulus esset & poplitib. in terram inclinatis. Ceterùm marmor ab affectu simile erat percusso & quasi palpitanti, præseferens concussionem è temulentia ortam. Nihil præterea molle ac delicatum habebat Indi simulacrum, neque singularem colore ac gestu gratiam referebat: verùm ad solam actuum commissionem distinctum fuerat. porro Indus
C absq; vllo integumento, ac nudus erat; tanquam Indis corporibus ad æstus ardorem consuetis, virilem acquirere vigorem.

---

## Εἰς τὸ τοῦ Ἔρωτος ἄγαλμα.

ΚΑΙ ἑτέρας ἱερᾶς τέχνης οἱ λόγοι προφητεύσαι βούλονται. οὐ γάρ μοι θεμιτὸν μὴ καλεῖν ἱερὰ τέχνης γεννήματα. Ἔρως ἦν Πραξιτέλους τέχνημα, ὁ Ἔρως αὐτός, παῖς ἀνθηρός, καὶ νέος, πτέρυγας ἔχων, καὶ τόξα. χαλκὸς δὲ αὐτὸν ἐτύπου, καὶ ὡς ἂν Ἔρωτα τυπῶν τύραννον θεόν, καὶ μέγαν· καὶ αὐτὸς ἐδυναστεύετο. οὐ γὰρ ἠνείχετο χαλκοῦς εἶναι τὰ πάντα, ἀλλ' ὅσον ἦν, Ἔρως ἐγίνετο. εἶδες ἂν τὸν χαλκὸν θρυπτόμενον,

## *In statuam Cupidinis.*

Alterius quoque artis sacræ sermones vaticinari volunt. nefas quippe mihi est sacros non vocare
D artis fœtus. Cupido erat Praxitelis artificium, ipsemet Cupido, puer, floridus, tener, alis præditus, & arcum tenens. æs autem ipsum informabat: & vt Cupidinem, dominatorem Deum & magnum effingens; ipsum etiam metallum tyrannicè dominabatur: non enim passum fuerat vt æs omnino remaneret: sed quantumcumque fuit, Amor effectus erat. Videas æs deliciis difflués,

A & mirum in modum carnis teneritudine mollescens; atque, vt summatim dicam, ad necessaria complenda, materiam sibi planè sufficientem esse. siquidem striculus erat puer, à maiestate alienus: æri porro consonantem vsum coloréve habebat; ac floride adolescere cernebatur. Porro motionis effectis priuatus, paratus erat ad motum indicandum. Enimuero in firma sede collocatus erat: attamen fallebat, quasi sublimi motioni dominaretur. B quinetiam iactabat se profusus in risum, igneum quiddam & mellitum ex oculis irradiás. ibidem videre fas erat, æs affectui obtemperans, & risus imitationem facilè ac libenter admittens. erectus igitur fuit, ad verticem dextrum inflectens brachiū altera manu arcum eleuans, & incessus, æqui pondium ad læuam inclinans. Etenim sinistri lumbi deflexio à suo statu recesserat, ad æris facilem tractationem C soliditate infracta. Cincinni verò florigeri & crispantes caput eius obumbrabant, iuuenili sublucentes vigore. proinde mirificum istud æs erat: sedenim intuito rubor effulgebat, à summa cæsarie excitatus. at contrectanti capillus surrigebat, titillatione sensum afficiens: mihi certè dum artem contemplarer, subierat animum credere Dædalum etiam choream agitatam D elaborasse: & colorem sensus mouisse: quādo Praxiteles in Cupidinis imagine, quædam etiam fermè sensa inseruerat, & ala vim aërem secandi solerter excogitarat.

καὶ εἰς εὐσαρκίαν ἀμηχάνως χλιδῶντα· καὶ ὡς βραχέως εἰπεῖν, τὰ ἀναγκαῖα πληροῦν, ἑαυτὴν τὴν ὕλην ἁρμόδουσαν. ὑ- ἴσ. ἑαυτῇ
γρὸς μὲν ἦν, ἀμοιρῶν μεγαλειότητος. χαλκῷ δὲ ἔχων συνῳδὸν τὴν χροιὰν, εὐ- ἴσ. χροίαν
ανθὴς* ἑωρᾶτο. τῶν δὲ κινήσεως ἔργων ἴσ. εὐανθής
ἐστερημένος, ἕτοιμος ἦν δεῖξαι κίνησιν. εἰς μὲν γὰρ ἕδραν στάσιμον ἵδρυτο· ἠπάτα δὲ, ὡς καὶ τῆς μετεώρου κυριεύων φορᾶς· B ἐγαυροῦτο δὲ εἰς γέλωτα, ἔμπυρόν τι, καὶ μείλιχον ἐξ ὀμμάτων διαυγάζων. καὶ ἦν ἰδεῖν ὑπακούοντα τῷ πάθει τὸν χαλκόν, καὶ δεχόμενον εὐκόλως τὴν γέλωτος μίμησιν. ἵδρυτο δὲ, εἰς μὲν τὴν κορυφὴν, τὸν δεξιὸν ἐπικάμπτων καρπὸν, τῇ δὲ ἑτέρᾳ μετεωρίζων τὸ τόξον, καὶ τὴν τῆς βάσεως ἰσορροπίαν ἐπικλίνων ἐπὶ τὰ λαιά. τὴν γὰρ τῆς ἀριστερᾶς λαγόνος ἔκστασιν, ἀνίστη πρὸς τὴν εὐμαρότητα C τοῦ χαλκοῦ, τὸ στεγανὸν ἐκκλάσας. πλόκαμοι δὲ αὐτοῦ τὴν κεφαλὴν ἐσκίαζον ἀνθηροὶ καὶ ἔνουλοι, νεοτήσιον ὑπολάμποντες ἄνθος. καὶ ἦν θαυμαστὸς οἷος ὁ χαλκός. ἰδόντι μὲν γὰρ, ἔρευθος ἀπέστιλβεν, ἐξ ἄκρων βοστρύχων αἰρόμενον. ἁψαμένῳ δὲ, ἡ θρὶξ ὑπεξανίστατο, μαλθακιζομένη πρὸς τὴν αἴσθησιν. ἐμοὶ δὴ θεασαμένῳ τὴν τέχνην, ἐπῄει πιστεύειν ὅτι καὶ χορὸν ἤσκησε κινούμενον D Δαίδαλος, καὶ χρόα παρεῖχεν αἰσθήσεις· ὅπου Πραξιτέλης εἰς τὴν εἰκόνα ἔρωτος ἐνέθηκε μικροῦ καὶ νοήματα, καὶ πτέρυγι τὸν ἀέρα τέμνειν ἐμηχανήσατο.

---

## *In statuam Narcissi.*

SYLVA erat, atque in ipsa fons pulcherrimus, ex aqua valde

## Εἰς τὸ τοῦ Ναρκίσσου ἄγαλμα.

ΑΛΣΟΣ ἦν καὶ ἐν αὐτῷ, κρήνη πάγκαλος, ἐκ μάλα καθαροῦ τε, καὶ διαυ-

τοῦ ὕδατος. εἱστήκει δὲ ἐπ' αὐτῇ Νάρκισσος, ἐκ λίθου λευκοῦ πεποιημένος. παῖς ἦν, μᾶλλον δὲ ἤϊθεος, ἡλικιώτης ἐρώτων, ἀστραπὴν οἵαν ἐξ αὐτοῦ τοῦ σώματος ἀπολάμπων κάλλους. ἦν δὲ τοιόνδε τὸ σχῆμα. κόμαις ἐπιχρυσίοις ἤστραπτε, κατὰ μὲν τὸ μέτωπον, τῆς τριχὸς ἑλισσομένης εἰς κύκλον, κατὰ δὲ τὸν αὐχένα, κεχυμένης εἰς νῶτα. ἔβλεπε δὲ οὐκ ἀκράτως γαῦρον, οὐδὲ ἱλαρὸν καθαρῶς. ἐπιπεφύκει γὰρ ἐν τοῖς ὄμμασιν ἐκ τῆς τέχνης καὶ λύπη, ἵνα μετὰ τοῦ Ναρκίσσου καὶ τὴν τύχην ἡ εἰκὼν μιμῆται. γ. ἐρῶτες ἔσταλτο δὲ ὥσπερ οἱ* ἔρωτες, οἷς καὶ τῆς ὥρας τὴν ἀκμὴν προσείκαστο. σχῆμα δὲ ἦν τοῦ κόσμου τοιόνδε. πέπλος λευκανθεὶς ὁμόχροος τῷ σώματι τοῦ λίθου, περιθέων εἰς κύκλον, κατὰ δὲ τὸν δεξιὸν ὦμον, περονίδες ὑπὲρ γόνυ καταβαίνουσαι ἐπαύοντο· μόνην ἀπὸ τοῦ πορπήματος ἐλευθέραν τὴν χεῖρα. οὕτω δὲ ἦν ἁπαλὸς, καὶ πρὸς πέπλου γεγονὼς μίμησιν, ὡς καὶ τὴν τοῦ σώματος διαλάμπειν χρόαν, τῆς ἐν τῇ περιβολῇ λευκότητος, τὴν ἐν τοῖς μέλεσιν αὐγὴν ἐξιέναι συγχωρούσης. ἔστη δὲ καθάπερ κατόπτρῳ τῇ πηγῇ χρώμενος, καὶ εἰς αὐτὴν περιχέων τοῦ προσώπου τὸ εἶδος. ἡ δὲ, τοὺς ἀπ' αὐτοῦ δεχομένη χαρακτῆρας, τὴν αὐτὴν εἰδωλοποιΐαν ἤνυεν, ὡς δοκεῖν ἀλλήλοις ἀντιφιλοτιμεῖσθαι τὰς φύσεις· ἡ μὲν γὰρ λίθος ὅλη, πρὸς ἐκεῖνον μετηλλάττετο τὸν ὄντως παῖδα. ἡ δὲ πηγὴ, πρὸς τὰ ἐν τῇ λίθῳ μηχανήματα τῆς τέχνης ἀντηγωνίζετο, ἐν ἀσωμάτῳ σχήματι τὴν ἐκ σώματος ἀπεργαζομένη τοῦ σχήματος ὁμοιότητα, καὶ τῷ ἐκ τῆς εἰκόνος κατεχομένῳ σκιάσματι, οἷόν τινα

A pura, limpida, & pellucida: eo loci Narcissus stabat, è marmore candido confectus. puer erat vel potius adolescens, coæuus Amorum: veluti fulgetrum quoddam è corporis formositate eiaculans. Eiusmodi verò conformatione extitit. aurea cæsarie fulgebat; capillo ad frontem in orbem reuoluto, sed per ceruicem diffuso in terga. Obtutus eius non pure ac planè superbus, neque hilaris omnino: B insitus quippe fuerat in oculis mœror ex arte; vt cum Narcisso, imago etiam fortunam eius imitaretur. Amictus & cultus erat vt Amorum: quibus etiam ætatis & formæ vigore assimilis erat. Porro figura ad ornatum talis fuit; peplus candens, corpori concolor, nempe ex eodem marmore, orbem conficiens: ad dexterum verò humerum fibulæ supra genu descendentes desinebant; solam à fibulatione manum eximebat. C Ceterum adeo tener erat, & ad pepli imitationem ita pulchrè expressus, vt etiam corporis color translucerct; candore, qui in circuitu nitebat, splendorem in artubus emicantem, egredi concedente. Stabat porro fonte tanquam speculo vtens, atque in ipsum vultus faciem effundens: aqua vero eius notas accipiens, absolutam formæ expressionem per- D ficiebat; vt viderentur inter se vicissim naturæ cõtendere, quò se mutuo exprimerent etenim totum marmor cum illo reapse puero permutabatur. fons autem cum molitionibus artis, quæ in lapide erant, concertabat, dum in figura incorporea speciem figuræ è corpore cõstante efficeret, & adumbrationi comprehensæ, & ab imagine veluti

carneam

carnem quandam aquæ naturam apponeret. vsqueadeò verò viua & animata erat per aquas figura, vt quis ipsum esse Narcissum opinaretur: quem ad fontem profectum forma sua in aquis conspecta apud lymphã nymphámve interiisse memorant, eò quòd percupiisset cum simulacro suo copulari; & nunc in prato conspici verna tempestate florentem. perspexisses etiam, cùm vnum marmor esset, colorem ad oculorum fabricam accommodare, & morum memoriam seruare; & sensus indicare, & affectus designare, & ad capillitij licentiam accedere, in pili flexuram solutum. istud autem ne verbis quidem exprimi potest, vt lapis in humorem laxatus, corpus oppositum essentiæ suæ præbuerit: naturam namque solidiorem nactus; sensum tamen aliquem deliciarum emittebat, in rarum quendam corporis tumorem diffusus. quinetiam fistulam contrectabat, qua pastoritiis Diis primitias sacrauerat, & solitudinem cantibus resonare fecerat, si quando musicis instrumentis applicare animum optaret. hunc equidem Narcissum admiratus, ô iuuenes, etiam ad vos induxi pulcrè expressum ad sacrum Musarum atrium. Ceterùm ita se habet sermo, vt ipsa quoque se statua habebat.

A σάρκα τὴν τοῦ ὕδατος φύσιν περιθεῖσα. οὕτω δὲ ἦν ζωτικὸν, καὶ ἔμπνουν τὸ καθ' ὑδάτων σχῆμα, ὡς αὐτὸν εἶναι δοξάσαι τὸν Νάρκισσον. ὃν ἐπὶ πηγὴν ἐλθόντα, τῆς μορφῆς αὐτοῦ καθ' ὑδάτων ὀφθείσης, παρὰ νύμφῃ τελευτῆσαι λέγουσιν, ἐρασθέντα τῷ εἰδώλῳ συμμίξαι, καὶ νῦν ἐν λειμῶνι φαντάζεσθαι, ἐν ἠριναῖς ὥραις ἀνθοῦντα. εἶδες ἂν ὡς εἷς ὢν ὁ λίθος, τὴν χρόαν, καὶ ὀμμάτων κατασκευὴν ἥρμοζε,
B καὶ ἠθῶν ἱστορίαν ἔσωζε, καὶ αἰσθήσεις ἐνεδείκνυτο, καὶ πάθη ἐμήνυε, καὶ πρὸς τριχώματος ἐξουσίαν ἠκολούθει, εἰς τὴν τριχὸς καμπὴν λυόμενος. τὸ δὲ οὐδὲ λόγῳ ῥητὸν, λίθος εἰς ὑγρότητα κεχαλασμένος, καὶ ἐναντίον σῶμα τῇ οὐσίᾳ παρεχόμενος· στερεωτέρας γὰρ τετυχηκὼς φύσεως, τρυφερότητος ἀπέστελλεν αἴσθησιν, εἰς ἀραιόν τινα σώματος ὄγκον διαχεόμενος. μετεχειρίζετο δὲ καὶ σύριγ-
C γα, ἣν νομίοις θεοῖς ἐκεῖνος ἀπήρχετο· καὶ τὴν ἐρημίαν κατήχει τοῖς μέλεσιν, εἴποτε μουσικοῖς ψαλτηρίοις προσομιλῆσαι ποθήσειε. τοῦτον θαυμάσας, ὦ νέοι, τὸν Νάρκισσον, καὶ εἰς ἡμᾶς παρήγαγον, εἰς Μουσῶν αὐλὴν ὑποτυπωσάμενος. ἔχει δὲ ὁ λόγος, ὡς καὶ εἰ εἰκὼν εἶχεν.

---

### *In statuam Temporis opportuni, seu Occasionis.*

VOLO etiam tibi Lysippi opificium oratione exprimere: quod quidem signorum suorum pulcerrimum artifex fabricatus, Sicyoniis ad spectandum proposuerat. Simulacrum fuit, Tempus opportunum ex ære sculptum; arte cum natura contendente. Tempus autem, puer

### Εἰς τὸ ἐν Σικυῶνι ἄγαλμα τοῦ Καιροῦ.

D Ἐθέλω δέ σοι καὶ τὸ Λυσίππου δημιούργημα τῷ λόγῳ παραστῆσαι, ὅπερ ἀγαλμάτων κάλλιστον ὁ δημιουργὸς τεχνισάμενος, Σικυωνίοις εἰς θέαν προὔθηκε. καιρὸς ἦν εἰς ἄγαλμα, τετυπωμένος ἐν χαλκοῦ, πρὸς τὴν φύσιν ἁμιλλωμένης* τῆς τέχνης. παῖς δὲ ἦν ὁ

*γρ. καὶ ἁμιλλώμενος

καιρὸς ἡβῶν, ἐκ κεφαλῆς ἐς πόδας ἐπανθῶν τὸ τῆς ἥβης ἄνθος. ἦν δὲ τὴν μὲν ὄψιν, ὡραῖος, σείων ἴουλον, καὶ ζεφύρῳ τινάσσειν, πρὸς ὃ βούλοιτο καταλιπὼν τὴν κόμην ἄνετον. τὴν δὲ χρόαν εἶχεν ἀνθηρὰν, τῇ λαμπηδόνι τοῦ σώματος τὰ ἄνθη δηλῶν. ἦν δὲ Διονύσῳ κατὰ τὸ πλεῖστον ἐμφερής. τὰ μὲν γὰρ μέτωπα χάρισιν ἔστιλβεν· αἱ παρειαὶ δὲ αὐτῷ εἰς ἄνθος ἐρυθόμεναι, νεοτήσιον ὡραΐζοντο, ἐπιβάλλουσαι τοῖς ὄμμασιν ἁπαλὸν ἐρύθημα. εἱστήκει δὲ ἐπί τινος σφαίρας, ἐπ' ἄκρων τῶν ταρσῶν βεβηκὼς, ἐπτερωμένος τὼ πόδε. ἐπεφύκει δὲ οὐ νενομισμένως ἡ θρίξ· ἀλλ' ἡ μὲν κόμη κατὰ τῶν ὀφρύων ἐφέρπουσα, ταῖς παρειαῖς ἐπέστελλε τὸν βόστρυχον. τὰ δὲ ὄπισθεν ἦν τοῦ καιροῦ, πλοκάμων ἐλεύθερα, μόνην τὴν ἐκ γενέσεως βλάστην ἐπιφαίνοντα τοῦ τελχός. ἡμεῖς μὲν οὖν ἀφασίᾳ πληγέντες πρὸς τὴν θέαν, εἱστήκειμεν, τὸν χαλκὸν ὁρῶντες ἔργα φύσεως μηχανώμενον, καὶ τῆς οἰκείας ἐκβαίνοντα τάξεως. χαλκὸς μὲν γὰρ ὢν, ἠρυθραίνετο, σκληρὸς δὲ ὢν τὴν φύσιν, διεχεῖτο, μαλθακῶς* εἴκων τῇ τέχνῃ πρὸς ὃ βούλοιτο. σπανίζων δὲ αἰσθήσεως ζωτικῆς, ἔνοικον ἔχειν ἐπιστοῦτο τὴν αἴσθησιν. καὶ οὕτως ἐστήρικτο, πάγιον τὸν ταρσὸν ἐρείσας· ἑστὼς δὲ, ὁρμῆς ἐξουσίαν ἔχειν ἐδείκνυτο. καί σοι τὸν ὀφθαλμὸν ἠπάτα, ὡς καὶ τῆς εἰς τὸ πρόσω κυελιδίων φορᾶς, καὶ παρὰ τοῦ δημιουργοῦ λαβὼν, καὶ τὴν ἀέριον πλῆξιν τέμνειν, εἰ βούλοιτο, ταῖς πτέρυξι.

* γρ. μαλθακὸς εἴ.

A erat pubeſcens: in quo pubertatis flos à capite ad pedes vigebat. facie certè formoſus apparebat, lanuginem quatiens, & Fauonio concutiendam quocunque vellet, cæſariem ſolutam linquens. florigero nitebat colore, ſplendore corporis flores oſtendens: erátque Dionyſo maxima ex parte perſimilis: atenim frons gratiis emicabat: genæ autem ipſi floris inſtar rubentes, iuuenili decore fulgebant, tenerum oculis ruborem adiicientes. B Stabat autem in globo quodam ſummis pedum plantis inſiſtens, quibus alatus erat. capillus non more ſolito creuerat: verùm coma contra ſupercilia repens, ad genas cincinnum reuocabat. occiput itaque Temporis cinnorum nexibus liberum fuit, ſolo à primo ortu inſito, apparente capillo. Nos igitur taciturno ſtupore perculſi hoc ſpectaculo conſtitimus, æs naturæ opera moliens cernentes, C ac ſuum propriúmque ſtatum excedens. nam cùm æs eſſet, rubebat: & natura durum diffundebatur; molliter cedens arti, quocunque vellet: præterea vitali ſenſu carens, interiore ſenſu præditum credebatur. atque ita fultum & ſtabilitum erat, fixo firmiter talo: ſtans verò, cõcitati motus licentiam præ ſe ferebat: oculúmque tibi decipiebat, tanquam ſi compos eſſet vlterius pergendi. & accepta ab D artifice facultate aëriam plagam ſecandi, ſi vellet, remigio alarum. atque eiuſmodi ſane erat, quod mirũ nobis accidebat. Vnus verò quidam in artibus illuſtris, & ex eorum numero, qui norunt, cum ſenſu magis artificioſo opificũ mirãda indagare,

Pindar. Pythioni. Od. ix. str. iv.

καὶ τὸ μὲν ἡμῖν θαῦμα, τοιοῦτον ἦν. εἷς δέ τις τῶν περὶ τὰς τέχνας σοφῶν, καὶ εἰδότων σὺν αἰσθήσει τεχνικωτέρᾳ τὰ τῶν δημιουργῶν ἀνιχνεύειν θαύματα,

etiam rationis artificio accineret, Temporis potentiam in arte seruatam enarrando: nam quod aligerum est in talis, subindicare pernicitatẽ, & talaria quib. multum implicans æuum; horis ac tempestatibus annuis inuectum fertur. Porro efflorescentem venustatem referri ad id, quòd omne tempestiuum formosum est: & solus pulcritudinis artifex est Tempus: Omne verò quod defloruit, extra Temporis naturam est. Coma autem ante frontem vagatur, quia tempus accedens sumere facilè est: eo præterito, negotiorum vigens occasio vnâ abit; & neglectum Tempus capere est nefas.

*Pindar. Pythioni. Od. ix. Str. iv.*

A καὶ λογισμοῦ ἐπῇδε τῷ τεχνήματι, τὴν τοῦ καιροῦ δύναμιν, ἐν τῇ τέχνῃ σωζομένην ἐξηγούμενος· τὸ μὲν γὰρ πτέρωμα τῶν ταρσῶν, αἰνίττεσθαι τὴν ὀξύτητα· καὶ ὡς τὸν πολὺν ἀνελίττων αἰῶνα, φέρεται ταῖς ὥραις ἐποχούμενος. τὴν δὲ ἐπανθοῦσαν ὥραν, ὅτι πᾶν εὔκαιρον τὸ ὡραῖον, καὶ μόνος κάλλους δημιουργὸς ὁ καιρός· τὸ δὲ ἀπηνθηκὸς ἅπαν, ἔξω τῆς καιροῦ φύσεως. τὴν δὲ κατὰ τοῦ* μετώπου κόμην, ὅτι προσιόντος μὲν αὐτοῦ, λαβέσθαι ῥᾴδιον. B παρεληλυθόντος δὲ, ἡ τῶν πραγμάτων ἀκμὴ συνεξέρχεται· καὶ οὐκ ἔστιν ὀλιγωρηθέντα λαβεῖν τὸν καιρόν.

---

## IN SIMVLACRVM OCCAsionis. M. P. Ausonij.

*Cvivs opus? Phidiæ, qui signũ*
*Palladis, eius,*
*Quique Iouem fecit, tertia palma ego sum.*
*Sum Dea, quæ rara, & paucis*
*Occasio nota.*
*Quid rotulæ insistis? Stare loco*
*nequeo.*
*Quid talaria habes? volucris sum.*
*Mercurius quæ*
*Fortunare solet, tardo ego cùm*
*volui.*
*Crine tegis faciem. Cognosci nolo. Sed heus tu,*
*Occipiti caluo es. Ne tenear*
*fugiens.*

---

## ΕΙΣ ΤΟ ΑΥΤΟ ΑΓΑΛΜΑ τοῦ Καιροῦ, ἐπιγρ. Ποσειδίππου.

Τίς, πόθεν ὁ πλάστης. Σικυώνιος. οὔνομα δὴ τίς
Λύσιππος. σὺ δὲ τίς; Καιρὸς ὁ πανδαμάτωρ. C
Τίπτε δ' ἐπ' ἄκρα βέβηκας; ἀεὶ τροχάω. τί δὲ ταρσοὺς
Ποσσὶν ἔχεις διφυεῖς; ἵπταμ' ὑπηνέμιος.
Χειρὶ δὲ δεξιτερῇ τί φέρεις ξυρόν; ἀνδράσι δεῖγμα
Ὡς ἀκμῆς πάσης ὀξύτερος τελέθω.
Η δὲ κόμη τί κατ' ὄψιν; ὑπαντιάσαντι λαβέσθαι.
Νὴ Δία τἀξόπιθεν πρὸς τί φαλακρὰ πέλει;
Τὸν γὰρ ἅπαξ πτηνοῖσι παραθρέξαντά με ποσσὶν, D
Οὔτις ἔθ' ἱμείρων δράξεται ἐξόπιθεν.
Τοῖον ὁ τεχνίτης με διέπλασεν εἵνεκεν ὑμέων,
Ξεῖνε, καὶ ἐν προθύροις θῆκε διδασκαλίην.

A

## Εἰς τὸ τοῦ Ὀρφέως ἄγαλμα.

ΕΝ τῷ Ἑλικῶνι (τέμενος δὲ τῶν Μουσῶν σκιερὸν ὁ χῶρος παρὰ τοὺς Ὀλμειοῦ τοῦ ποταμοῦ ῥύακας, καὶ τὴν ἰοειδέα Πηγάσου κρήνην) Ὀρφέως ἄγαλμα * τοῦ Καλλιόπης παρὰ τὰς Μούσας εἱστήκει, ἰδεῖν μὲν κάλλιστον. ὁ γὰρ χαλκὸς τῇ τέχνῃ συναπέπικτε τὸ κάλλος, τῇ δὲ τοῦ σώματος ἀγλαΐᾳ, τὸ μουσικὸν ἐπισημαῖνον τῆς ψυχῆς. ἐκόσμει δὲ αὐτὸν παρὰ Περσικὴ χρυσῷ κατάστικτος, ἀπὸ κορυφῆς εἰς ὕψος ἀνέχουσα. χιτὼν δὲ ἐξ ὤμων ἀπαγόμενος εἰς πόδας, τελαμῶνι χρυσέῳ κατὰ τῶν στέρνων ἐσφίγγετο. κόμη δὲ οὕτως ἦν εὐανθὴς, καὶ ζωτικὸν ἐπισημαίνουσα, καὶ ἔμπνουν, ὡς ἀπατᾶν τὴν αἴσθησιν, ὅτι καὶ πρὸς τὰς ζεφύρου πνοὰς σειομένη δονεῖται. ἡ μὲν γὰρ ἐπαυχένιος κατὰ νώτου χυθεῖσα, ἡ δὲ, ὀφρύσιν ἄνωθεν διχόθεν ἐπιφαίνουσα, καθαρὰς τῶν ὀμμάτων ἔφαινε τὰς βολάς. τὸ πέδιλον δὲ αὐτῷ, ξανθοτάτῳ χρυσῷ κατήνθιστο, καὶ πέπλος κατὰ νώτου ἄφετος εἰς σφυρὰ κατῄει. μετεχείριζετο δὲ τὴν λύραν· ἣ δὲ, ἰσαρίθμοις ταῖς Μούσαις ἐξῆπτο τοῖς φθόγγοις. ὁ γὰρ χαλκὸς, καὶ νευρὰς ἐπεκρίνετο· καὶ πρὸς τὴν ἑκάστου μίμησιν ἀλλαττόμενος, πειθηνίως ὑπήγετο, μικροῦ καὶ πρὸς αὐτὴν τὴν ἠχὴν τῶν φθόγγων φωνῆς γινόμενος. ὑπὸ δὲ τῶν ποδῶν τὴν βάσιν, οὐκ οὐρανὸς ἦν τυπωθεὶς, οὐδὲ πλειάδες τὸν αἰθέρα τέμνουσαι, οὐδὲ ἄρκτου περιστροφαὶ τοῦ ὠκεανοῦ λουτρῶν ἄμοιροι, ἀλλ' ἦν πᾶν μὲν ὀρνίθων γένος πρὸς τὴν ᾠδὴν ἐξιστάμενον, πάντες δὲ ὄρειοι θῆρες, καὶ ὅσον ἐν θαλάττης μυχοῖς νέ-

B

C

D

ἰσ. τῶ τ. χ. παρὰ

## *In Orphei statuam.*

IN Helicone (qui locus vmbrosum Musarum delubrum est, prope Olmij fluminis riuos, & violaceum Pegasi fontem) Orphei statua Calliopes filij, iuxta Musas erecta est, visu sanè pulcherrima: æs enim simul cum arte pulcritudinem comparabat: corporis verò splendore, concentum animi designans. Eum decorabat tiara Persica auro intertexta, à vertice ad altitudinem eminens. tunica verò ab humeris deducta ad pedes, balteo aureo pectoribus astringebatur. Cæsaries adeo florida est, & viuidum atque animatum quid præ se ferens, vt sensum fallat; siquidem ad Fauonij auras agitata cietur. atenim quæ in ceruicem propendet, in terga diffunditur; hæc verò bifida à supero syncipite superciliis imminens, puros oculorum radios detegit. Calceamentum eius auro maximè flauo floridè aspersum erat, & peplus per dorsum laxatus ad talos pertinebat. Porro lyram contrectabat; quæ quidem sonos numeris pares Musis appensos habebat: æs enim etiam neruos distinguebat: & ad cuiusq; imitationem variatum, morigerè subigebatur: vt parum abesset, quin ad tonorum consonantiam vocale redditum esset. Ceterùm sub pedum fulcro non cœlum erat incisum, neque Pleiades æthe- Hom. Il. Σ rem secantes, neque Vrsæ conuersiones Oceani lauacrorum expertes: sed omne auium genus aderat obstupescens ad cantum: itémque omnes feræ montanæ, & quæcunque in maris penetralibus pascun-

tur. equus etiam demulcebatur, A freni vice concentu detentus: bos quoque, dimissis pascuis, lyræ cantum auscultabat. Ac leonum immitis natura ad melodiam sopita mitescebat. vidisses etiam æs fluuios effingens, è fontibus ad cantus fluentes, & maris fluctum amore carminis eleuatum, & cautes musica perculsas: atque omne tempestiuum germen è pascuis, ad Orphicam cantilenam properans. at nihil quidem erat quod resonaret, atque lyricam excitaret consonan- B tiam: sed ars ipsa in animantibus affectus amoris musici modulaminis declarabat, atque vt in ære voluptates apparerent, efficiebat: deniq; efflorescentia animantum sensui delinimenta arcano & inexplicabili modo patefaciebat.

A μεται. καὶ ἵππος ἐθέλγετο ἀντὶ χαλινοῦ τῷ μέλει κρατούμενος. καὶ βοῦς ἀφεὶς τὰς νομὰς, τῆς λυρῳδίας ἤκουε. καὶ λεόντων ἄτεγκτος φύσις, πρὸς τὴν ἁρμονίαν κατηυνάζετο. εἶδες ἂν καὶ ποταμοὺς τυποῦντα τὸν χαλκὸν, ἐκ πηγῶν ἐπὶ τὰ μέλη ῥέοντας, καὶ κῦμα θαλάσσης ἔρωτι τῆς ᾠδῆς ὑψούμενον, καὶ πέτρας πληττομένας μουσικῇ, καὶ πᾶσαν βλάστην ὥριον, ἐξ ἠθῶν ἐπὶ τὴν μοῦσαν τὴν Ὀρφικὴν B σπεύδουσαν. καὶ οὐδὲν μὲν ἦν τὸ ἠχοῦν, οὐδὲ τὴν ἁρμονίαν τὴν λυρῳδὸν ἐγεῖρον· ἡ τέχνη δὲ, ἐν τοῖς ζώοις τῆς περὶ τὴν μουσικὴν ἔρωτος τὰ πάθη κατεμήνυε, καὶ ἐν τῷ χαλκῷ τὰς ἡδονὰς ἐποίει φαίνεσθαι, καὶ τὰ ἐπανθοῦντα τῇ αἰσθήσει τῶν ζώων θελκτήρια, ἀρρήτως ἐξέφαινεν.

## *IN SIGNVM DIONYSII.*

DÆDALI sanè integrum fuit C videre in Creta incredibilia ac miranda opera, quæ fabricis occultis agitabantur: vtque aurum ad humanum sensum referendum cogeretur: verùm Praxitelis manus spirantia prorsus conficiebant artis molimina. Nemus fuit, in quo Dionysus constiterat, adolescentis habitum imitatus; ita certè molliter, vt æs cum carne concinnè congrueret. Adeò verò tenerum ac D delicatum corpus habebat, vt ex alia quauis materia potius quàm ex ære conflatus videretur: siquidem, æs cùm esset, erubescebat: & cùm vitæ communionem nullam haberet, eius tamen speciem volebat præ se ferre. quòd si contrectasses, vigore quodam excitabatur: ac reapse quidem solidum & contumax æs erat, sed artificio mollitum,

## ΕΙΣ ΔΙΟΝΥΣΟΥ ΑΓΑΛΜΑ.

C Δαιδάλῳ* μὲν ἐξῆν ἰδεῖν τῷ περὶ Κρήτην πιστεύειν θαύματα, κινούμενα μηχαναῖς τὰ ποιήματα, καὶ πρὸς ἀνθρωπίνην αἴσθησιν ἐκβιάζεσθαι* τὸν χρυσόν· αἱ δὲ δὴ Πραξιτέλους χεῖρες ζωτικὰ διόλου κατεσκεύαζον τὰ τεχνήματα. ἄλσος ἦν, καὶ Διόνυσος εἱστήκει, ἠϊθέου σχῆμα μιμούμενος· οὕτω μὲν* ἁπλοῦς, ὡς πρὸς σάρκα μεταρρυθμίζεσθαι τὸν D χαλκόν. οὕτω δὲ ὑγρὸν καὶ κεχαλασμένον ἔχων τὸ σῶμα, ὡς ἐξ ἑτέρας ὕλης, ἀλλὰ μὴ χαλκοῦ πεφυκός. ὃς χαλκὸς μὲν ὤν, ἠρυθραίνετο· ζωῆς δὲ μετουσίαν οὐκ ἔχων, ἐβούλετο τὴν ἰδέαν δεικνύναι. ἀψαμένῳ δέ σοι, πρὸς τὴν ἀκμὴν ὑπεξίστατο. καὶ ὄντως μὲν ὁ χαλκὸς ἦν στεγανός· ὑπὸ δὲ τῆς τέχνης μαλαττόμενος

ἴσ. Δαιδάλου μ. ἐ. ἰ. τὰ π. Κ. ἄπιστα θ.

κ. ἐκβιαζόμενα τ.

κ. ἁπλός. ἴσ. ἁπαλός. (ἢ) ἁπαλῶς

εἰς σάρκα, ἀπεδίδρασκε τῆς χειρὸς τὴν αἴσθησιν. ἦν δὲ ἀνθηρὸς, ἁβρότητος γέμων, ἱμέρῳ ῥεόμενος, οἷον αὐτὸς Εὐριπίδης ἐν βάκχαις εἰδοποιήσας ἐξέφηνε. κισσὸς δ' αὐτὸν ἔστεφε περιθέων ἐν κύκλῳ. ὡς κισσὸς ἦν ὁ χαλκὸς, εἰς κλῶνας καμπτόμενος, καὶ τῶν βοστρύχων τοὺς ἑλικτῆρας ἐκ μετώπου κεχυμένους ἀναστέλλων. γέλωτος δὲ ἔμπλεως, ὃ δὴ τοῦ παντὸς ἦν ἐπέκεινα θαύματος, ἡδονῆς ἀφιέναι τὴν ὕλην τεκμήρια, καὶ τὴν παθῶν δήλωσιν ὑποκρίνεσθαι τὸν χαλκόν. νεβρὶς δὲ αὐτὸν ἔσκεπεν, οὐχ οἵαν εἴωθεν ὁ Διόνυσος ἐξάπτεσθαι, ἀλλ' εἰς τὴν τῆς δορᾶς μίμησιν ὁ χαλκὸς μετεβάλλετο. εἱστήκει δὲ τὴν λύραν ἐπερείδων τῷ θύρσῳ· ὁ δὲ θύρσος, ἠπάτα τὴν αἴσθησιν· ἐκ χαλκοῦ πεποιημένος, χλοερόν τι, καὶ τεθηλὸς ἀποστίλβειν ἐδόξαζετο, πρὸς αὐτὴν ἀμειβόμενος τὴν ὕλην. ὄμμα δὲ ἦν πυρὶ διαυγὲς, μανικὸν ἰδεῖν. τὸ γὰρ βακχεύσιμον ὁ χαλκὸς ἐνεδείκνυτο, καὶ ἐπιθειάζειν ἐδόκει· ὥσπερ οἶμαι τοῦ Πραξιτέλους καὶ τὸ βακχεῖον ἐγκαταμίξαι δυνηθέντος.

A in carnem pulposam, manus contactum subterfugiebat. Ceterùm floridus, teneritudine refertus, cupidine diffluens erat: qualis Euripides ipse in Bacchis exacta simulacri fictione expressit. hedera certè ipsum redimibat, cingens in orbem: æs quippe, vt hedera, in ramos se incuruabat; ac cincinnorũ nexus à fronte fusos reprimebat. totus porrò in risum effusus; quod certè omne miraculũ excedebat, cùm voluptatis indicia suppeditaret materia, B & metallum designationẽ affectuũ æmularetur. hinnuli membrana ipsum obtegebat, non qualẽ Dionysus solebat appensam habere, sed ad pellis imitationem conformatum erat æs. Porrò stabat lyram thyrso fulciens: ac thyrsus etiam sensum fallebat. quippe qui ex ære fabricatus virens quiddam ac florens emicare putabatur; cum ipsa certans materia. Præterea oculus igne rutilans, furiosum intuebatur: C sedenim metallum vim bacchantem indicabat, & furore accendi videbatur: perinde, opinor, ac si Praxiteles Bacchicum œstrum inserere valuisset.

## Εἰς τὸ Μέμνονος ἄγαλμα.

Ἐθέλω δέ σοι, τὸ τοῦ Μέμνονος ἀφηγήσασθαι θαῦμα. καὶ γὰρ ὄντως παράδοξος ἡ τέχνη, καὶ κρείττων ἀνθρωπίνης χειρός. τοῦ Τιθώνου Μέμνονος εἰκὼν ἦν ἐν Αἰθιοπίᾳ, ἐκ λίθου πεποιημένη· οὐ μὴν ἐν τοῖς οἰκείοις ὅροις ἔμενε λίθος ὤν· οὐδὲ τὸ τῆς φύσεως σιγηλὸν ἐνείχετο, ἀλλὰ καὶ λίθος ὤν, εἶχεν ἐξουσίαν φωνῆς. νῦν μὲν γὰρ ἀνίσχουσαν τὴν ἡμέραν, προσεφθέγγετο, ἐπισημαίνων τῇ φωνῇ τὴν

## IN SIGNVM MEMNONIS.

VOLO etiã tibi Memnonis miraculum cõmemorare: nam stupenda D verè fuit ars, & humana manu præstantior. Memnonis Tithoni filij simulacrum erat in Æthiopia è marmore sculptum: veruntamen id suis in limitib. non remanserat, neque taciturnam naturam retinebat: sed cùm saxum esset, vocis facultatem habebat: nunc enim orientem diem alloquebatur, voce gau-

dium designans, & ob matris præsentiam exhilaratus: modò ad noctem inclinata die, miserandum & anxium quiddam gemebat marmor ob absentiam mœrore affectum. neque verò lacrymis carebat; quin has quoque voluntati ministrantes habuit. ac Memnonis talis imago fuit, solo corpore humano mihi differre visa. à fortuna verò quadam & proposito simili, impulsa regebatur. ea porrò quæ tristitiam adferrent immixta habebat: rursusque ipsum voluptatis sensus occupabat; ab vtrisque affectibus perculsum. ac Natura quidem lapidum ortum soni expertem, ac stupidum produxit, & neque à dolore moderari volentem, neque lætari scientem, imo & omnibus casibus inuulnerabilem. Illi verò Memnonis marmori & iucunditatem concessit, & cautem cruciatui admouit. itaque hanc solam nouimus artem quæ sensa saxo & vocem inseruit. Enimuerò Dædalus ad motionem vsque generosè attentauerat; atque illius artificium vim materias mutandi, & loco transferendi, & ad choream excitandi habebat: verùm arduum ipsi, atque imperuium omnino fuit, opera voce prædita moliri. sed Æthiopum manus meatus in iis quæ inaccessa atque inuia erant excogitarunt, & taciturnitatem marmoris amouerunt. Illi certè Memnoni respondere Echum fama est, quoties loqueretur; & lugubre lamentanti, flebile carmen remittere: lætanti autem sonum æmulum reddere. denique illud opificium interdiu mœrores sopiebat, nec filiũ quærere permittebat; quasi

A χαρὰν, καὶ ἐπὶ ταῖς τῆς μητρὸς παρουσίαις φαιδρυνόμενος· νῦν δὲ ἀποκλινομένης εἰς νύκτα, ἐλεεινόν τι, καὶ ἀλγεινὸν ἔστενε, πρὸς τὴν ἀπουσίαν ἀνιώμενος. ἠπόρει δὲ οὐδὲ δακρύων ὁ λίθος, ἀλλ᾽ εἶχεν ὑπηρετοῦντα τῇ βουλήσει καὶ ταῦτα. καὶ ἦν Μέμνονος ἡ εἰκὼν, μόνῳ τῷ ἀνθρωπείῳ διαλλάττειν μοι δοκοῦσα σώματι, ὑπὸ δὲ τύ-

B χης τινὸς ὁμοίας, καὶ προαιρέσεως ἀγομένη, κατηυθύνετο. εἶχεν οὖν ἐγκεκραμένα καὶ τὰ λυποῦντα· καὶ πάλιν ἡδονῆς αἴσθησις αὐτὸν κατελάμβανεν, ὑπ᾽ ἀμφοτέρων τῶν παθῶν πληττόμενον. καὶ ἡ μὲν φύσις, τὴν λίθων γένεσιν ἄφθογγον παρήγαγε, καὶ κωφὴν, καὶ μήτε ὑπὸ λύπης ἐθέλουσαν διοικῆσαι, μήτε εἰδυῖαν ἡσθῆναι, ἀλλὰ καὶ πάσαις τύχαις ἄτρωτον. ἐκεί-

C νῳ δὲ τῷ Μέμνονος λίθῳ καὶ ἡδονὴν παρέδωκεν ἡ φύσις, καὶ πέτραν ἀνέμιξεν ἀλγηδόνι. καὶ μόνην ταύτην ἐπιστάμεθα τὴν τέχνην, νοήματα λίθῳ, καὶ φωνὴν ἐνθεῖσαν. ὁ μὲν γὰρ Δαίδαλος, μέχρι μὲν κινήσεως ἐνεανιεύετο, καὶ δύναμιν εἶχεν ἡ ἐκείνου τέχνη ἐξιστάναι τὰς ὕλας, καὶ εἰς χορείαν κινεῖν. ἀμήχανον δὲ ἦν, καὶ παντελῶς ἄ-

D πορον, καὶ φωνῆς μέτοχα πραγματεύεσθαι τὰ ποιήματα. αἱ δὲ Αἰθιόπων χεῖρες πόρους τῶν ἀμηχάνων ἐξεῦρον, καὶ τὴν ἀφωνίαν ἐξενίκησαν τοῦ λίθου. ἐκεί- ἴσ. ἐξεκίνησαν νῳ τῷ Μέμνονι καὶ τὴν Ἠχὼ λόγος ἀντηχεῖν, ὁπότε φθέγγοιτο· καὶ γοερὸν μὲν στενάζοντι, γοερὸν ἀντιπέμπειν μέλος· εὐπαθοῦντι δὲ, ἀνταποδιδόναι τὴν ἠχὼ ἀντίμιμον. ἐκεῖνο τὸ δημιούργημα καὶ τῇ ἡμέρᾳ τὰς ἀνίας ἐκοίμιζε, καὶ οὐκ εἴα μαστεύειν τὸν παῖδα, ὡς ἂν αὐτῇ-

θείσης αὐτῷ τῆς Αἰθιόπων τέχνης τὸν ἐκ τῆς εἱμαρμένης ἀφανισθέντα Μέμνονα.

---

## Εἰς τὸ Ἀσκληπιοῦ ἄγαλμα.

Εἶτα τὸ μὲν Ἀργῷον σκάφος ἔμφωνον γενέσθαι πειθόμεθα, τὸ ὑπὸ τῆς Ἀθηνᾶς τεχνηθὲν χειρῶν, ᾧ καὶ τὴν ἐν ἄστροις ἐκληρούχησε τύχην· ἄγαλμα δὲ οὐ πιστεύομεν, εἰς ὃ τὰς δυνάμεις Ἀσκληπιὸς ἀνίησι, τὸν προνοητικὸν ἐπεισάγων νοῦν, ἐπὶ τὴν ἑαυτοῦ κοινωνίαν τὸ σε* νικοῦντος τὴν δύναμιν πρέπειν. ἀλλ' εἰς μὲν ἀνθρώπινα σώματα κατάγεσθαι τὸ θεῖον δώσομεν, ἔνθα καὶ μιανθῆναι παθήμασιν· οὐ πιστεύσομεν δὲ, εἰ μὴ τὸ ἔγγονον κακίας* παραπέφυκεν. ἐμοὶ μὲν οὖν, οὐ τύπος εἶναι δοκεῖ τὸ ὁρώμενον, ἀλλὰ τῆς ἀληθείας πλάσμα. ἰδοὺ γὰρ ὡς οὐκ ἂν ἠθοποιήτος ἡ τέχνη, ἀλλ' ἐνεικονισαμένη τὸν θεὸν, εἰς αὐτὸν ἐξίσταται. ὕλη μὲν οὖσα, θεοειδὲς ἀναπέμπει νόημα· δημιούργημα δὲ χειρὸς τυγχάνουσα, ἃ μὴ δημιουργίαις ἔξεστι, πράττει, τεκμήρια ψυχῆς ἀρρήτων ἀποτίκτουσα. πρόσωπον δέ σοι θεασαμένῳ, δουλοῦται τὴν αἴσθησιν. οὐ γὰρ εἰς κάλλος ἐπίθετον ἐσχημάτισται, ἀλλὰ παιὰν καὶ ἵλεων ἀνακινοῦν ὄμμα· βάθος ἄφρασον ὑπαστράπτει, σεμνότητος αἰδοῖ μιχθείσης. πλοκάμων δὲ ἕλικες ῥεόμενοι χάρισιν, οἱ μὲν εἰς νῶτα τεθηλότες, ἄφετοι κέχυνται. οἱ δὲ ὑπὲρ μετώπου πρὸς τὰς ὀφρῦς ἐπιμένοντες, τοῖς ὄμμασιν εἱλοῦνται. οἱ δὲ ἐκ τῆς ζωτικῆς αἰτίας καὶ αὐτοὶ καταρδόμενοι, εἰς τὴν τῶν βοστρύχων καμπὴν συνελίττονται, τῷ νόμῳ τῆς τέχνης μὴ πειθομένης τῆς ὕλης, ἀλλὰ νοούσης ὅτι σχηματίζει θεόν;

ἴσ. ταῖς νόσοις νικῶντος.

A quasi Æthiopũ ars hoc ſolatio compenſaret Memnonẽ fato peremptũ.

---

## *IN SIGNVM ÆSCVLAPII.*

DEINDE Argo nauem vocalem extitiſſe credimus, vt Mineruæ manibus fabricatam, cui etiam Dea regionem inter aſtra ſorte aſſignauit: Statuam verò non credimus eiuſmodi fuiſſe? in quam vires Æſculapius infundit, & prouiden-
B tem inducit mentem ad ſui communionem, vt* victricem morborum potentiam decet. verùm in corpora humana ſanè numen deduci concedemus; ibíque affectibus maculari: at id minimè credemus, bono vitioſi quiddam, potius quàm recti, præter naturam accedere. mihi quidẽ ſimulacrũ non videtur, quod cernitur; ſed veritatis figmentũ. Ecce enim, vt non morũ ſimulatrix ars, ſed imaginem Dei exprimens, in
C ipſum demigrat: & materia cùm ſit, Deiformem intellectum emittit: & manus opificium exiſtens, ea quæ opificiis non licet, præſtat; dum animæ arcanorum indicia certa parit. vultus autem tibi intuenti, ſenſum in ſeruitutem redigit: Etenim non ad decus adiectitium cõformatus eſt, ſed, vt Pæan, hilarẽ & propitiũ excitat oculum: ac profunditas inexplicabilis ſub grauita-
D te fulget, verecundia admixta. Cinnorum autem circuli fluentes Gratiis, partim in terga florentes liberè funduntur, partim ſuper fronte ad ſupercilia pertinentes oculis inuoluuntur. deinde quaſi vitali ſcatebra, etiam ipſi irrigati, in flexũ comæ nodorum complicantur, artificij legi, materia non obtemperãte; ſed percipiente ſe Deum effingere,

*Hic interpres ſuis tantùm coniecturis nititur.*

& opus eſſe dominatu. Ceterùm cùm ea quæ oriuntur interire ſoleant, Signi forma, vt ſanitatis vim & naturam præ ſe ferens, vigore interitus experte acquiſito floret. Nos certè tibi, fili, ſermones iuueniles & Memoria editos exorſi ſumus; (ſed enim ita hortaris, opinor) verùm alacres & prompti iam ſumus ad accinendum tibi canticum, ſi Sanitatem tribueris.

καὶ δεῖ δυναστεύειν. τῶν δὲ γινομένων εἰωθότων φθείρεσθαι, ἡ τοῦ ἀγάλματος ἰδέα, ἅτε δὴ τῆς ὑγείας τὴν οὐσίαν ἑαυτῇ φέρουσα, ἀκμὴν ἀνώλεθρον ἐπικτωμένη θάλλει. ἡμεῖς μὲν δή σοι καὶ λόγων, ὦ παῖ, νεαρῶν, καὶ μνήμης ἐκγόνων ἀπηρξάμεθα· κελεύεις γὰρ οἶμαι· πρόθυμος δέ σοι καὶ τὸν νόμον ᾄδειν, εἰ νέμοις ὑγείαν.

---

### *In Cupidinem alterum Praxitelis.*

DEVM ne in vrbis arce ſpectaſti, quem Praxiteles ſtatuit? ſi quidem tibi artis operæ pretium exhibere opus eſt; is nimirum puer fuit mollis & tener, artificio metallum ad mollem & iuuenilem venuſtatem emolliente. Deliciarum ac deſiderij plenus erat, & pubis florem indicabat. hæc autem omnia videre integrum erat ad artificij nutum mutari. Atenim mollis erat, cùm naturam teneritudini repugnantem haberet; & ad humidum traducebatur, æs humore vacuum: ac totum è natura ſua migrabat metallum; limites ſuos ad verum ſimulacrum transferens: atque exors ſpiritus, etiam ſpirantem auram ſubibat. Etenim quæ materia non acceperat, neque procreantem habuerat, horum ars copiam ſuggerebat. porrò genas rubore ſuffuſas habebat, quod admirabile profectò fuit, æs ruborē parere. Præterea puerilis ætatis erat, elucente flore. & comæ cincinni, ſupercilia ipſi premebant. Sed dum cingulo cæſariem capitis coronaret, & à ſuperciliis capillos diademate remoueret, nudā à nexibus capillorum frontē ſeruabat. Interim autem dum per partes expen-

### Εἰς τὸν Πραξιτέλους ἔρωτα.

Τεθέασαι τὸν θεὸν ἐπ' ἀκροπόλει, ὃν Πραξιτέλης ἵδρυσεν, εἰ δεῖ σοι τῆς τέχνης παραστῆναι τὸ πρᾶγμα. παῖς ἦν ἁπαλός τε, καὶ νέος, πρὸς τὸ μαλθακόν τε, καὶ νεοτήσιον τῆς τέχνης τὸν χαλκὸν μαλαττούσης. χλιδῆς δὲ ἦν, καὶ ἱμέρου μεστός, καὶ τὸ τῆς ἥβης ἔφαινεν ἄνθος. πάντα δὲ ἦν ἰδεῖν πρὸς τὴν τῆς τέχνης βούλησιν ἀμειβόμενα. καὶ γὰρ ἁπαλὸς ἦν, μὴ* μαλαθμένην τῇ ἁπαλότητι τὴν οὐσίαν ἔχων· καὶ πρὸς τὸ ὑγρὸν ἤγετο, ἐστερημένος ὑγρότητος. καὶ ὅλος ἐξέβαινε τῆς αὐτοῦ φύσεως ὁ χαλκός, τοὺς ὅρους εἰς τὸν ἀληθῆ τύπον μεθιστάμενος. ἄμοιρος δὲ ὢν πνεύματος, καὶ τὸ ἔμπνουν ὑπεδύετο. ἃ γὰρ μὴ παρέλαβεν ὕλη, μηδὲ εἶχε τὸν φύοντα, τούτων ἡ τέχνη τὴν ἐξουσίαν ἐπορίζετο. ἐκινοῦτο δὲ τὰς παρειὰς ἐρυθήματι· ὃ δὴ καὶ παράδοξον ἦν, χαλκὸν πηκτόμενον ἔρευθος. καὶ παιδικῆς ἦν ἡλικίας, ἄνθος ἐκλάμπων. κόμης δὲ εἶχεν ἕλικας ταῖς ὀφρύσιν ἐπιβαίνοντας. ὁ δὲ τελαμῶνι καταστέφων τὴν κεφαλῆς κόμην, καὶ ἐκ τῶν ὀφρύων ἀπωθούμενος τῷ διαδήματι τὰς τρίχας, γυμνὸν πλοκάμων ἐτήρει τὸ μέτωπον. ὡς δὲ καὶ κατὰ μέρος ἐξητά-

*ἴσ. καὶ μὴ

ζομεν τὴν τέχνην, καὶ τὰ ἐν αὐτῇ δὲ ἅλματα, ἀφασίᾳ πληγέντες εἱστήκειμεν. ὅ, τε γὰρ χαλκὸς εὐτραφῆ καὶ λιπῶσαν ἐπεδείκνυτο τὴν σάρκα, καὶ πρὸς τὴν τῆς τριχὸς μίμησιν μεθηρμόζετο, ὅτε μὲν, βοστρύχων οὔλων πλοκαῖς συνεξελιττόμενος· ὅτε δὲ, θελούσῃ τῇ τριχὶ ἐκταδὸν κατὰ νώτου χεῖσθαι συναπλούμενος, ὅτε δὲ ἐπιτεῖναι τὰ μέλη πρὸς τὸ σύντονον μεθιστάμενος. ὄμμα δὲ ἱμερῶδες αἰδοῖ συμμιγὲς, ἀφροδισίου ἐρωτικοῦ γέμον χάριτος. καὶ γὰρ ἤδει ζηλοῦν ὁ χαλκὸς τὸ ἐράσμιον· καὶ ὑπήκουσα ἐθέλοντι τῷ εἰδώλῳ γαυροῦσα. ἀκίνητος δὲ οὗτος ὁ εὔφημος, ἔδοξεν ἄν σοι κινήσεως μετέχειν, καὶ εἰς χορείαν εὐτρεπίζεσθαι.

γρ. ὑπηκοῦσαι ἐ. τ. ἐ. γαυρῶσαι

A dimus artem, & saltus qui in ipsa sunt, taciturno stupore icti constitimus: æs namque compactam, opimam, ac nitidam indicabat carnem; & ad capillitij imitationẽ accommodabatur; interdum crispōrum nodorum inuolucris implicitum: interdum spontaneo crine per terga fuso, extensum & explicatum: interdum artus intendebat, ad firmum tenorem redactum. Aspectus porrò suauitatẽ verecundiæ admixtam habens, venerea gratia amatoria B redundabat. Enimuerò metallum nouerat amabilem æmulari indolem, & obtemperare simulachro superbè gestienti. Denique celebre istud æs motus expers, vtique motionis particeps tibi videretur, & se ad choream accingere.

---

## ΕΙΣ ΑΓΑΛΜΑ ΚΕΝΤΑΥΡΟΥ.

Εἰς ἱερὸν εἰσιὼν σεμνόν τι, καὶ μέγα, ὃ C τὴν καλλίστην εἰκασίαν, εἰς ἑαυτὸ μεθίστη, ἐν τοῖς προπυλαίοις τοῦ νεὼ ἱδρυμένον θεῶμαι Κένταυρον, οὐκ ἀνδρὶ, κατὰ τὴν Ὁμήρειον εἰκόνα, ἀλλὰ θηρίῳ παραπλήσιον ὑλήεντι. ἄνθρωπος ἦν ἄχρι λαγόνος κατιὼν ὁ κένταυρος, ἐς ἵππου βάσιν τετρασκελῆ λήγων. τῶν* γὰρ ἵππων, καὶ τῶν ἀνθρώπων ἡ φύσις, ἐξ ἡμισείας τεμοῦσα, εἰς ἓν σῶμα συνήρμοσε, τὸ μὲν, ἀποκρίνασα τῶν μερῶν, τὰ δὲ ἀλλή- D λοις τεχνησαμένη σύμφωνα. τῆς μὲν γὰρ ἀνθρωπίνης, ὅσον ἀπ' ἰξύος εἰς ἄκραν ὑποφέρεται τὴν βάσιν, ἀφεῖλε. τοῦ δὲ ἵππου σώματος, ὅσον εἰς ὀμφαλὸν καταβαίνει τεμοῦσα, τῷ ἀνθρωπείῳ συνῆγε τύπῳ. ὡς τὸν μὲν ἵππον, τὴν κεφαλὴν ποθεῖν καὶ τοὺς αὐχενίους τένοντας, καὶ

ἴσ. τὸν γὰρ ἵππον καὶ τὸν ἄνθρωπον

## *IN CENTAVRI STATVAM.*

INGRESSVS in templũ ingens ac venerabile quod pulcherrimam in se formam cõtinebat, vestibulum ante ipsum primóq; in limine Centaurum video, non viro, ex Homerica imagine, sed belluæ syluicolæ assimilem. homo quippe erat vsque ad ilia descendendo Centaurus, in equi gressum quatuor cruribus nixum desinebat. etenim equum & hominem Natura à dimidio secans in vnum corpus compegerat, partim artubus quibusdam secretis, partim sibi inuicem consonantibus fabricatis: sed enim à forma humana, quantum à lumbo ad imos pedes subtenditur, detraxit: equino autem corpori ademptam reliquam partem ab vmbilico descendentem, humanæ effigiei contribuit: ita vt equus caput desideraret, & ceruicales toros, &

Odyss. φ.

quicquid in terga descendens latè extenditur: homo verò ab vmbilico ad pedum vsque plantam stabilimentum requirat. Porrò, cùm tale sit corpus, videas animum, in artificio eminentem, & corpus efferatum, & vultui belluinum quiddam efflorescens: & marmor pilorum ornamentum pulcherrimè repræsentans, & omnia ad verum simulacrum properantia.

A ὅσον εἰς τὸ νῶτον καταβαῖνον εὐρύνεται. τὸν δὲ ἄνθρωπον, ἀπὸ ὀμφαλοῦ μέχρι τῆς βάσεως στηριγμὸν ζητεῖν. τοιούτου δὲ ὄντος τοῦ σώματος, εἶδες ἂν θυμὸν ἐπιπλέοντα τῷ τεχνήματι, καὶ ἠγριωμένον τὸ σῶμα, καὶ τῷ προσώπῳ θηριῶδές ἐπανθοῦν, καὶ τὸ τῆς τριχὸς κάλλιστα ὑποκρινομένην τὴν πέτραν, καὶ πάντα πρὸς τὸν ἀληθῆ τύπον ἀποδιδόντα.

B

## IN SIGNVM MEDEÆ.

VIDI etiam famosam in limitibus Macedonũ Medeam. marmor erat animi formam indicans, cùm ars in eo lapide expressisset ea quæ complemento sunt animæ. Atenim cogitationem arguebat res patefacta, & animi æstus insurgebat, & ad tristitiæ effectum imago transibat. vt paucis comprehendam, id quod cernebatur, expositio erat facinoris ab ipsa parati. nam cogitatio magis quàm actio mulieris consilia aperiebat: feruor autẽ animi, impetu iræ præscriptus, naturã ad opus excitabat, ad cædis appetitum inducens. mœstitia verò miserationẽ super filiis conceptã designabat, vt in maternam prudentiam occultè ex animi æstu marmor traheret. non enim inflexa, neq; belluina erat imago, sed in furoris & insaniæ indiciũ diuidebatur, muliebris ingenij consiliis inseruiens: sedenim par fuit, vt post bilem fœmina à furore libera, ad cõmiserationem cõuerteretur; & ad mali notionem accedẽs animus miseraretur. hos sanè corporis affectus imago exprimebat; & videre marmor licebat, modò furorem

## ΕΙΣ ΤΟ ΜΗΔΕΙΑΣ ΑΓΑΛΜΑ.

Εἶδον καὶ τὴν πολυθρύλλητον ἐν ὅροις Μακεδόνων Μήδειαν. λίθος ἦν, μηνύων τὸ τῆς ψυχῆς εἶδος ἀπομαξαμένης εἰς αὐτὴν τῆς τέχνης τὰ συμπληροῦντα τὴν ψυχήν. καὶ γὰρ λογισμοῦ κατηγορεῖτο δήλωμα, καὶ θυμὸς ὑπανίστατο, καὶ πρὸς λύπης διάθεσιν μετέβαινεν ἡ εἰκών. καὶ C ὡς βραχέως εἰπεῖν, τοῦ περὶ αὐτὴν δράματος ἐξήγησις ἦν τὸ ὁρώμενον. ὁ μὲν γὰρ λογισμὸς, ὑπὲρ τὴν πρᾶξιν ἐδήλου τῆς γυναικὸς τὰ βουλεύματα. ὁ δὲ θυμὸς, τῇ ῥύμῃ τῆς ὀργῆς παραγραφόμενος, τὴν φύσιν πρὸς τὸ ἔργον ἤγειρε, τοῦ ἐπὶ τὸν φόνον ὁρμὴν* εἰσαγόμενος. ἡ λύπη δὲ, τὸν ἐπὶ τοῖς παισὶν ἐπεσήμαινεν οἶκτον εἰς τὴν μητρῴαν σύνεσιν ἀρ- D ρώστως* ἐκ τοῦ θυμοῦ τὴν λίθον ἕλκουσα. *ἴσ. ἀρρήτως οὐ γὰρ ἄτεγκτος, οὐδὲ θηριώδης ἡ εἰκὼν, ἀλλ' εἰς θυμοῦ, καὶ μανίας ἔνδειξιν διῃρεῖτο, ὑπηρετουμένη τοῖς τῆς γυναικὸς φύσεως βουλεύμασιν. εἰκὸς γὰρ ἦν μετὰ τὸν χόλον καθαρεύουσαν τοῦ θυμοῦ, ἐπιστρέφεσθαι πρὸς οἶκτον, καὶ εἰς ἔννοιαν ἐρχομένην τοῦ κακοῦ, τὴν ψυχὴν οἰκτίζεσθαι. ταῦτα μὲν τοῦ σώματος τὰ πάθη ἡ εἰκὼν ἐμιμεῖτο. καὶ ἦν ἰδεῖν τὴν λίθον ὅτε μὲν, φέρουσαν

τὸν θυμὸν ἐν ὄμμασιν, ὅτε δὲ, σκυθρωπὸν ὁρῶσαν, καὶ μαλαττομένην εἰς στενότητα, ὥσπερ ἄντικρυς τοῦ τεχνησαμένου τὴν ὁρμὴν, εἰς τῆς Εὐριπίδου δραματοποιΐας πλήσαντος τὴν μίμησιν. καὶ βουλεύεται, συνδιακινοῦσα καὶ σύνεσιν ἔμφρονα, καὶ εἰς θυμὸν ἀγριαίνει τὸ ἦθος, τοὺς πεπεικότας* τῇ φύσει, πρὸς τὰ ἔγγονα τῆς φιλογονίας ὅρους ἐκβάλλουσα, καὶ παιδικῶν λόγων μετὰ τὴν ἄνομον σφαγὴν ἅπτεται. ἦν δὲ αὐτῇ καὶ ξιφηφόρος ἡ χεὶρ, διακονεῖν ἑτοίμη τῷ θυμῷ, ἐπὶ τὸ μίασμα ἀποδιδοῦσα· καὶ ἠμελημένη θρὶξ, τὸ αὐχμηρὸν ἐπισημαίνουσα· καὶ στολή τις πένθιμος ἀκόλουθος τῇ ψυχῇ.

*ἴσ. πεπηγότας

## Εἰς ἄγαλμα Ἀθάμαντος.

Εἰκὼν ἦν ἐπὶ ταῖς Σκυθικαῖς ἠϊόσιν, οὐκ εἰς ἐπίδειξιν, ἀλλὰ* καὶ ἀγωνίαν τῶν γραφῆς καλῶν, οὐ* κάλλους, ὡς ἐξησκημένη. ἐκτετύπωτο δὲ καὶ αὐτὴν Ἀθάμας, μανίας οἰστρούμενος. ἦν δὲ ἰδεῖν γυμνὸς, αἵματι φοινίσσων τὴν κόμην, ἠνεμωμένος τὴν τρίχα, παράφορος τὸ ὄμμα, ἐκπληξίας γέμων. καὶ ὥπλιστο δὲ οὐ μανίαις μόνον εἰς τόλμαν, οὐδὲ τοῖς ἐξ Ἐριννύων δείμασι δημοφθόροις ἠγρίωτο· ἀλλὰ καὶ σίδηρος τῆς χειρὸς προεκβέβλητο, ἐκθέοντι παραπλήσιος. ἡ μὲν γὰρ χεὶρ, ὄντως ἦν ἀκίνητος· ἐδόκει δὲ οὔ τι ἦν τὸ στάσιμον, ἀλλὰ δόξῃ κινήσεως ὑπὸ τοῦ φόβου χλωρόν τι, καὶ τεθνηκὼς ὁρῶσα. ἐνηγκάλιστο δὲ καὶ παῖδα νήπιον, καὶ τὴν θηλὴν τοῖς χείλεσιν αὐτοῦ προσῆγε, τὰς τροφίμους ἐπιστάζουσα πηγὰς τοῖς τροφίμοις. ἐπείγετο δὲ ἡ εἰκὼν καὶ τὴν ἄκραν τοῦ Σκέρρωνος, καὶ τὴν θάλατταν τὴν

*ἴσ. ἀλλ᾽ εἰς — *ἴσ. καὶ κ. — κ. Σκιρρ.

A oculis exhibens; interdum mœrentis instar intuens, atque emollitũ ad angustias, vt si apertè artifex fabricatus esset impetum, & compleuisset ad Euripidis tragici actus imitationem. hîc etiam illa deliberat, commouens sagacitatem prudẽtem; atque in furorem irritat indolem, fixos à natura terminos charitatis in propios fœtus expellens: deinde post illegitimam cædem amatorios sermones instituit. Cæterùm manus B ipsi ensifera fuit, ad inseruiendum animo parata, dum ad flagitia properat: & incompta coma, squallorem arguit; & amictus quidam lugubris affectui consentaneus est.

## *In Athamantis signum.*

Simulachrum fuit in Scythicis ripis; non ad ostentationem, sed ad concertationem eorum quæ in C pictura præclara sunt, ac pulchritudinis, vt arte elaboratum. Expressus verò est in ea imagine Athamas, furoris stimulis percitus: & nudus repræsentabatur, coma sanguine infecta: ventis agitata cæsarie: oculo transuersum intuente; stupore perculsus: & non insania tantùm ad audaciam armatus fuit; nec terroribus exitiosis à Furiis iniectis efferatus sæuiebat. quinetiã ferrum manui obtensum erat, excurrẽ- D ti simile. Etenim manus reuera immota erat: sed quod stabile erat, non videbatur; verũ opinione motionis præ formidine pallidũ quiddam & mortuum innuebat. infantẽ etiam puerum vlnis amplexabatur; & papillam labiis ipsius admouebat; fontes alibres instillans alumnis. Porrò imago satagebat ad iugum Scirronis, & mare monti vicinum.

A cinum. Fluctus autem ad excipiendum sinuabatur, æstuare solitus. porrò aliquid Fauonij corpus diffundebat, stridulo flatu mare sopientis. atenim cera sensus imaginem exhibebat, vt quæ etiam spiritũ fabricari sciret, & marinas aureas flatus eiaculari, atque ad naturæ opera imitationem adducere. Assultabant etiam marini delphines, procellas in sculptura secantes. sic cera afflari videbatur, & ad maris imitamen expressa, dum se ad vagam ipsius licentiam variaret. Deinde in tabulæ limitibus Amphitrite altè demersa, ac sæuum quiddam atque horridum cernens; & quasi Solare iubar ex oculis emittebat. Nereïdes certè ei adstabant: quæ molles venustæque erant, & visu floridæ, ac Venereum desiderium ex oculis stillantes: ac super extremis fluctibus æquoris iter replicantes feriebant. Circum eas mirùm abierat Oceanus, non longè à fluminis motione quæ fluctuare didicerat.

A ὑπόρθιον.* τὸ δὲ ῥόθιον, πρὸς ὑποδοχὴν ἐκολποῦτο, κυμαίνειν εἰωθός. καὶ Ζεφύρου τι κατεῖχε τὸ σῶμα, λιγυρῷ πνεύματι τὴν θάλασσαν κατευνάζοντος. ὁ γὰρ δὴ κηρὸς ἐφάνταζε τὴν αἴσθησιν, ὡς καὶ πνοὴν δημιουργεῖν ἐπιστάμενος, καὶ ἀνακοντίζειν θαλασσίους αὔρας, καὶ εἰς ἔργα φύσεως ἐπάγειν τὴν μίμησιν. παρεσκίρτων δὲ καὶ εἰνάλιοι δελφῖνες, τὸ ῥόθιον ἐν τῇ γραφῇ τέμνοντες. καὶ ὁ κηρὸς
B ἐδόκει διαπνέεσθαι, καὶ πρὸς τὸ τῆς θαλάσσης νομίζεσθαι μίμημα, πρὸς αὐτὴν τὴν ἐξουσίαν ἐξαλλαττόμενος.* εἰ γέμων τοῖς τοῦ πίνακος τέρμασιν Ἀμφιτρίτη ἐνβυθιζομένη, ἀγριόν τι, καὶ φρικῶδες ὁρῶσα, καὶ ἡλιακόν τι σέλας ἐκ τῶν ὀμμάτων μαρμαίρουσα. Νηρηΐδες δὲ περὶ αὐτὴν εἱστήκεσαν· ἁπαλαὶ δὲ ἦσαν αὗται καὶ ἀνθηραὶ προσιδεῖν, καὶ Ἀφροδίσιον ἵμερον ἐξ ὀμμάτων στάζουσαι. ὑπὲρ δὲ ἄκρων τῶν θαλασσίων κυμάτων ἑλίσσουσαι τὴν πορείαν ἔπληττον. περὶ δὲ αὐτὰς Ὠκεανὸς, φεῦ, ᾤχετό γε, μικροῦ τῆς τοῦ ποταμοῦ κινήσεως, καὶ κυμαίνειν διδαχθείσης.

γ. ὑπωρε.

ἴσ. ἤγε μικρὸ



Τῶν τοῦ Καλλιστράτου Ἐκφράσεων τέλος.